## ΑΛΛΟ.

Κεύθει ΝΕΙΟΦΥΤΟΙΟ δέμας κόνις ἠδ᾽ ὀλιγίστη,
οὐ μὴν τοῦδε πόνων ἰδμοσύνης τε κλέος·
ὃς γὰρ ἐν Ἑλλάδι δὴν ἀνσπασθεῖσαν προθελύμνως
Ἑλλάδα γλῶσσαν ἑοῖς ἀμπεφύτευκε πόνοις·
ἰδμοσύνην δ᾽ ἔκφηνεν ἑὴν ἅλις ᾗς ἐνὶ δέλτοις·
ζώει ἄρ᾽ εὐκλεέως κἂν θάνε σωματίῳ.

## ΑΛΛΟ.

Τίς κρύπτετ᾽ ἔνδον εὐγενῶν τύμβ᾽ εἰπέ μοι;
Ῥάζος μὲν οὗτος Γρηγόριος ὦ ξένε,
ὃς Κλουτζιάρης τἀξίωμά τ᾽ ἦν μέγας,
τρόπους τ᾽ ἄριστος, καὶ φρόνησιν, καὶ γένος,
ἐξ εὐγενῶν ὥρμητο γὰρ Βυζαντίων,
ζῶν εὐκλεῶς δὲ, φεῦ, ἐν ἀκμῇ τοῦ βίου·
τῶν τῇδ᾽ ἀπῆρε, πράξεων λιπὼν κλέος,
ὁμοζύγῳ πένθος δὲ καὶ ῥοῦν δακρύων.

## ΑΛΛΟ.

Οὔνομα καί γε Πάτρην τοῦ νέρθεν φώνεε τύμβε,
νοῦσον τ᾽ ἀργαλέην ᾗ γε δαμεὶς ἔθανε.
οὔνομα Κωνσταντῖνος ἐῢς παῖς ὢν Μιχαήλου,
Σατίσης κλεινῆς θρέμμα μὲν, ἠδὲ γόνος,
ἔφθιτο δ᾽ ἐν ξείνῃ νούσῳ φθινώδεϊ λυγρῶς
τεσσαρακοντέτης· ἔθνεα πολλά τέ μιν

κλαῦ-